**Johannesevangelium 13,31–14,31**

**13,31** Ὅτε οὖν ἐξῆλθεν

λέγει Ἰησοῦς,

Νῦν ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου,

καὶ ὁ θεὸς ἐδοξάσθη ἐν αὐτῷ·

**13,32** [εἰ ὁ θεὸς ἐδοξάσθη ἐν αὐτῷ],

καὶ ὁ θεὸς δοξάσει αὐτὸν ἐν αὐτῷ,

καὶ εὐθὺς δοξάσει αὐτόν.

**13,33** τεκνία,

ἔτι μικρὸν μεθ᾽ ὑμῶν εἰμι·

ζητήσετέ με,

καὶ καθὼς εἶπον τοῖς Ἰουδαίοις

ὅτι ὅπου ἐγὼ ὑπάγω

ὑμεῖς οὐ δύνασθε ἐλθεῖν,

καὶ ὑμῖν λέγω ἄρτι.

**13,34** ἐντολὴν καινὴν δίδωμι ὑμῖν,

ἵνα ἀγαπᾶτε ἀλλήλους,

καθὼς ἠγάπησα ὑμᾶς

ἵνα καὶ ὑμεῖς ἀγαπᾶτε ἀλλήλους.

**13,35** ἐν τούτῳ γνώσονται πάντες

ὅτι ἐμοὶ μαθηταί ἐστε,

ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις.

[**13,36-38**: Petrus: Wohin willst du gehen? Jesus: Wohin ich gehe, dorthin kannst du mir jetzt nicht folgen. Du wirst mir aber später folgen. … Du willst für mich dein Leben hingeben? Noch bevor der Hahn kräht, wirst du mich dreimal verleugnen. → 18,27]

**14,1** Μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία·

πιστεύετε εἰς τὸν θεόν

καὶ εἰς ἐμὲ πιστεύετε.

**14,2** ἐν τῇ οἰκίᾳ τοῦ πατρός μου μοναὶ πολλαί εἰσιν·

εἰ δὲ μή, εἶπον ἂν ὑμῖν

ὅτι πορεύομαι ἑτοιμάσαι τόπον ὑμῖν;

**14,3** καὶ ἐὰν πορευθῶ καὶ ἑτοιμάσω τόπον ὑμῖν,

πάλιν ἔρχομαι

καὶ παραλήμψομαι ὑμᾶς πρὸς ἐμαυτόν,

ἵνα ὅπου εἰμὶ ἐγὼ καὶ ὑμεῖς ἦτε.

**14,4** καὶ ὅπου [ἐγὼ] ὑπάγω

οἴδατε τὴν ὁδόν.

**14,5** Λέγει αὐτῷ Θωμᾶς·

κύριε,

οὐκ οἴδαμεν

ποῦ ὑπάγεις·

πῶς δυνάμεθα τὴν ὁδὸν εἰδέναι;

**14,6** λέγει αὐτῷ [ὁ] Ἰησοῦς·

ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή·

οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα εἰ μὴ δι᾽ ἐμοῦ.

**14,7** εἰ ἐγνώκατέ με,

καὶ τὸν πατέρα μου γνώσεσθε·

καὶ ἀπ᾽ ἄρτι γινώσκετε αὐτὸν

καὶ ἑωράκατε αὐτόν.

**14,8** λέγει αὐτῷ Φίλιππος·

κύριε,

δεῖξον ἡμῖν τὸν πατέρα,

καὶ ἀρκεῖ ἡμῖν.

**14,9** λέγει αὐτῷ ὁ Ἰησοῦς·

τοσούτῳ χρόνῳ μεθ᾿ ὑμῶν εἰμι

καὶ οὐκ ἔγνωκάς με,

Φίλιππε;

ὁ ἑωρακὼς ἐμὲ ἑώρακεν τὸν πατέρα·

πῶς σὺ λέγεις·

δεῖξον ἡμῖν τὸν πατέρα;

**14,10** οὐ πιστεύεις

ὅτι ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί ἐστιν;

τὰ ῥήματα ἃ ἐγὼ λέγω ὑμῖν ἀπ᾿ ἐμαυτοῦ οὐ λαλῶ·

ὁ δὲ πατὴρ ἐν ἐμοὶ μένων ποιεῖ τὰ ἔργα αὐτοῦ.

**14,11** πιστεύετέ μοι

ὅτι ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί·

εἰ δὲ μή, διὰ τὰ ἔργα αὐτὰ πιστεύετε.

**14,12** ἀμὴν ἀμὴν λέγω ὑμῖν,

ὁ πιστεύων εἰς ἐμὲ τὰ ἔργα ἃ ἐγὼ ποιῶ κἀκεῖνος ποιήσει,

καὶ μείζονα τούτων ποιήσει,

ὅτι ἐγὼ πρὸς τὸν πατέρα πορεύομαι·

**14,13** καὶ ὅ τι ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου

τοῦτο ποιήσω,

ἵνα δοξασθῇ ὁ πατὴρ ἐν τῷ υἱῷ·

**14,14** ἐάν τι αἰτήσητέ με ἐν τῷ ὀνόματί μου

ἐγὼ ποιήσω.

**14,15** Ἐὰν ἀγαπᾶτέ με,

τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσετε·

**14,16** κἀγὼ ἐρωτήσω τὸν πατέρα

καὶ ἄλλον παράκλητον δώσει ὑμῖν

ἵνα μεθ᾽ ὑμῶν εἰς τὸν αἰῶνα ᾖ,

**14,17** τὸ πνεῦμα τῆς ἀληθείας,

ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν,

ὅτι οὐ θεωρεῖ αὐτὸ

οὐδὲ γινώσκει·

ὑμεῖς γινώσκετε αὐτό,

ὅτι παρ᾽ ὑμῖν μένει

καὶ ἐν ὑμῖν ἔσται.

**14,18** Οὐκ ἀφήσω ὑμᾶς ὀρφανούς,

ἔρχομαι πρὸς ὑμᾶς.

**14,19** ἔτι μικρὸν καὶ ὁ κόσμος με οὐκέτι θεωρεῖ,

ὑμεῖς δὲ θεωρεῖτέ με,

ὅτι ἐγὼ ζῶ

καὶ ὑμεῖς ζήσετε.

**14,20** ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γνώσεσθε ὑμεῖς

ὅτι ἐγὼ ἐν τῷ πατρί μου

καὶ ὑμεῖς ἐν ἐμοὶ

κἀγὼ ἐν ὑμῖν.

**14,21** ὁ ἔχων τὰς ἐντολάς μου καὶ τηρῶν αὐτὰς ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με·

ὁ δὲ ἀγαπῶν με ἀγαπηθήσεται ὑπὸ τοῦ πατρός μου,

κἀγὼ ἀγαπήσω αὐτὸν

καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν.

**14,22** Λέγει αὐτῷ Ἰούδας, οὐχ ὁ Ἰσκαριώτης·

κύριε,

[καὶ] τί γέγονεν

ὅτι ἡμῖν μέλλεις ἐμφανίζειν σεαυτὸν καὶ οὐχὶ τῷ κόσμῳ;

**14,23** ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ·

ἐάν τις ἀγαπᾷ με

τὸν λόγον μου τηρήσει,

καὶ ὁ πατήρ μου ἀγαπήσει αὐτόν,

καὶ πρὸς αὐτὸν ἐλευσόμεθα

καὶ μονὴν παρ᾽ αὐτῷ ποιησόμεθα.

**14,24** ὁ μὴ ἀγαπῶν με τοὺς λόγους μου οὐ τηρεῖ·

καὶ ὁ λόγος ὃν ἀκούετε οὐκ ἔστιν ἐμὸς

ἀλλὰ τοῦ πέμψαντός με πατρός.

**14,25** Ταῦτα λελάληκα ὑμῖν παρ᾽ ὑμῖν μένων·

**14,26** ὁ δὲ παράκλητος, τὸ πνεῦμα τὸ ἅγιον

ὃ πέμψει ὁ πατὴρ ἐν τῷ ὀνόματί μου,

ἐκεῖνος ὑμᾶς διδάξει πάντα

καὶ ὑπομνήσει ὑμᾶς πάντα

ἃ εἶπον ὑμῖν [ἐγώ].

**14,27** Εἰρήνην ἀφίημι ὑμῖν,

εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν·

οὐ καθὼς ὁ κόσμος δίδωσιν

ἐγὼ δίδωμι ὑμῖν.

μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία

μηδὲ δειλιάτω.

**14,28** ἠκούσατε

ὅτι ἐγὼ εἶπον ὑμῖν·

ὑπάγω

καὶ ἔρχομαι πρὸς ὑμᾶς.

εἰ ἠγαπᾶτέ με

ἐχάρητε ἄν,

ὅτι πορεύομαι πρὸς τὸν πατέρα,

ὅτι ὁ πατὴρ μείζων μού ἐστιν.

**14,29** καὶ νῦν εἴρηκα ὑμῖν

πρὶν γενέσθαι,

ἵνα ὅταν γένηται πιστεύσητε.

**14,30** οὐκέτι πολλὰ λαλήσω μεθ᾽ ὑμῶν,

ἔρχεται γὰρ ὁ τοῦ κόσμου ἄρχων·

καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν,

**14,31** ἀλλ᾽ ἵνα γνῷ ὁ κόσμος

ὅτι ἀγαπῶ τὸν πατέρα,

καὶ καθὼς ἐνετείλατο μοι ὁ πατήρ,

οὕτως ποιῶ.

ἐγείρεσθε,

ἄγωμεν ἐντεῦθεν.